# Eulogikon

Ancient Greek Texts — Free & Open source


eul_wid: mmg-bf

*Ἀνώνυμος ἱστορικός (ἀποσπάσματα)* · Historical Fragments Anonymous

# Roman Chronicle

*Ῥωμαϊκὴ Χρονική*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Συναγωγή* Collection

2b,252,F 1 (1) [ἀφ’ οὗ Σύλλας] ἐπὶ Μιθ[ραδατικὸν πόλ]εμον ἐξῆλ[θεν, καὶ Σ]ωτὴρ ὁ Φύσκων πα[ρακληθεὶς] τὸ δεύτερον καὶ κα[τελ]θὼν εἰς Αἴγυπτον ἐβασίλευσεν, ἀφ’ οὗ ἔτη ργ . (2) ἀφ’ οὗ Μάριος Ὠστίαν καταλαβόμενος καὶ ἀναγκάσας συν[θέσ]θαι οὐκ ἐμμείνας τῆι πίστει Ὀκταούιον ἀπέκτεινεν, Σύλλας δ’ ἐπὶ τῆς Ἀττικῆς Ἀθήνας ἐξεπολιόρκησεν, ἔτη ρβ . (3) ἀφ’ οὗ Φιμβρίας Μιθραδάτου στρατόπεδον περὶ Κύζικον ἐνίκησεν καὶ Ἴλιον ἐξεπολιόρκησεν καὶ ὑπὸ Σύλλα συσχεθεὶς ἑαυτὸν ἀνεῖλεν, καὶ Μιθραδάτης πρὸς Σύλλαν συνθήκας ἐποιήσατο, καὶ Φιλοπάτωρ τὸ δεύτερον εἰς Βιθυνίαν κατελθὼν ἐβασίλευσεν, καὶ Ἀριοβαρζάνης εἰς Καππαδοκίαν κατήχθη, ἀφ’ οὗ ἔτη ρ . (4) ἀφ’ οὗ Σύλλας Νωρβανὸν νικᾶι περὶ Καπύην καὶ Μάριον τὸν ὕπατον (82) ἐν Πραινεστῶι συνκλείσας διαδράσκοντα ἀπέκτεινεν, ἀφ’ οὗ ἔτη ϙη . (5) [ἀφ’] οὗ Σύλλας δικτάτωρ ἐγένετο, ἔτη μέχρι τοῦδε ϙζ . (6) [ἀφ’ οὗ Σωτὴρ] ὁ Φύσκων ἐπι[κληθεὶς ἀπέθα]νεν ϙς .

2b,252,F 2 (1) ἀφ’ [οὗ] ........το ** (2) ἀφ’ οὗ Σ[όλων Ἀθηναίων ἦρξεν καὶ] νόμου[ς αὐτοῖς ἔθηκεν, καὶ] Ἀνάχαρσις ὁ Σκ[ύθης εἰς Ἀθήνας ?] παρεγένετο, ἀφ’ [οὗ ἔτη * ]. (3) ἀφ’ οὗ Κροῖσος Λυδῶν ἐβα[σίλευσεν, ἔτη * ]. (4) ἀφ’ οὗ οἱ σοφοὶ ὠνομάσθησαν, [ἔτη * ]. (5) ἀφ’ οὗ Πεισίστρατος ἐτυράννευσ[εν ἐν Ἀθή]ναις, καὶ Αἴσωπος ὑπὸ Δελφῶν [κατεκρη]μνίσθη, ἔτη φοθ . (6) ἀφ’ οὗ Κροῖσος Κύρωι ὑποχείριος [ἐγένετο, ἔτη * ]. (7) ἀφ’ οὗ Καμβύσης Αἴγυπτον κατ[εστρέψατο] καὶ Πυθαγόρας ἑάλω, ἔτη φμ . (8) ἀφ’ οὗ Ἁρμόδιος καὶ Ἀριστογείτων Ἵππαρχον τὸν τύραννον ἀνεῖλον, [καὶ] Δαρεῖος ἐπὶ Σκύθας διέβη, ζεύξα[ς τὸν] Κιμμέριον Βώσπορον, ἔτη φκη . (9) ἀφ’ οὗ Ξέρξης κατὰ Ἄβυδον ζεύξας [τὸν] Ἑλλήσποντον διέβη, καὶ Θεμιστοκλῆς ναυμαχίαι τοὺς βαρβάρους ἐνίκα, ἀφ’ οὗ ἔτη υϙ * . (10) ἀφ’ οὗ Σωκράτης ὁ φιλόσοφος [καὶ Ἡρά]κλειτος ὁ Ἐφέσιος καὶ Ἀναξα[γόρας] καὶ Παρμενίδης καὶ Ζήνων, ἔτη * . (11) ἀφ’ οὗ ὁ Πελοποννησιακὸς πόλ[εμος] ἐνέστη, καὶ Θουκυδίδης ἦν, ἔτη * . (12) ἀφ’ οὗ Γαλάται Ῥωμαίους νική[σαντες] ἔσχον Ῥώμην, ἔτη υα .